## ΑΚΟΛΟΥΘΙΑ
## Τῌ ΙΕ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ

† Μνήμη τοῦ Ἁγίου Αὐγουστίνου Ἐπισκόπου Ἱππῶνος, καὶ

† Μνήμη τοῦ Ἁγίου Προφήτου, Ἀμώς.

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

## ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως

Δόξα Πατρὶ...

Θείου Πνεύματος, λαμπρὸν δοχεῖον, καὶ τῆς πόλεως, Θεοῦ ἐκφάντωρ, ἀνεδείχθης Αὐγουστῖνε μακάριε· καὶ τῷ Σωτῆρι ὁσίως ἱερευσας, ὡς Ἱεράρχης σοφὸς καὶ θεόληπτος. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

## ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐπιφανέντος

Δόξα Πατρί... Καὶ νῦν...Τὸ αὐτὸ

Μετὰ τὴν α΄ Στιχολογίαν,

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὸ ἄκρον ἀγαθόν, ὁλικῶς ἐκζητήσας, κατέλιπες σοφέ, σφαλλομένων τὴν σχέσιν, καὶ ἔλαμψας ὡς ἥλιος, Αὐγουστῖνε τοῖς πέρασι, φαίνων ἅπασι, τῆς μετανοίας τὴν χάριν, καὶ πρὸς ἔρωτα, τὸν θεϊκὸν διεγείρων, πιστῶν τὴν διάνοιαν.

Δόξα Πατρί...

Καὶ νῦν... Θεοτοκίον.

Ὡς θρόνος ὑψηλός, καὶ καθέδρα πυρφόρος, κατέχεις ταῖς χερσί, τὸν κατέχοντα πάντα, Παρθένε

Ἀειπάρθενε, Μαριὰμ Παντευλόγητε· ὅθεν ῥῦσαί με, ἐκ τῶν χειρῶν τοῦ δολίου, καὶ διάναψον, τὸ πῦρ τῆς θείας ἀγάπης, Ἁγνὴ τῇ καρδίᾳ μου.

Μετὰ τὴν β΄ Στιχολογίαν,
Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως

Ὅλος ἔνθεος, καὶ θεοφόρος, ἀναδέδειξαι, ἔρωτι θείῳ, Αὐγουστῖνε Ἱεράρχα μακάριε, καὶ τὸν λαὸν τοῦ Κυρίου ἐποίμανας, ἐν εὐσεβείᾳ καὶ πάσῃ σεμνότητι. Καὶ νῦν πρέσβευε, δοθῆναι τοῖς σὲ γεραίρουσι, πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

Δόξα Πατρί...

Καὶ νῦν... Θεοτοκίον.

Ἐξ αἱμάτων σου, σάρκα μορφώσας, ὁ Ὑπέρθεος, ἀνερμηνεύτως, βροτὸς ὤφθη μὴ τραπεὶς τὴν Θεότητα, καὶ τὸν Ἀδὰμ ἀναπλάσας ὡς εὔσπλαγχνος, σὲ ἀνωτέραν κτισμάτων ἀνέδειξε. Κόρη Πάναγνε, ἀνθρώπων θερμὸν προσφύγιον, μὴ παύσῃ βοηθοῦσα τοῖς αἰνοῦσί σε.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα
Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον...

Τὴν σοφίαν τὴν θύραθεν παιδευθείς, καὶ τὴν γνῶσιν τὴν ἄνωθεν μυηθείς, ὤφθης ἀμφοτέρωθεν, εὐκλεὴς καὶ περίδοξος, καὶ δυνατὸς ἐν λόγοις, καὶ ἔργοις καὶ πράξεσιν, ὁλοσχερῶς Κυρίῳ, σαυτὸν ἀναθέμενος. Ὅθεν ἐπὶ χλόην, ἀρετῶν οὐρανίων, ποιμάνας τὴν ποίμνην σου, τῷ Θεῷ εὐηρέστησας, Αὐγουστῖνε πολύσοφε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί...

Καὶ νῦν... Θεοτοκίον.

Τὴν ἁγίαν νηδύν σου καὶ καθαράν, ὡς παλάτιον μέγα καὶ ἱερόν, ὁ Ἄναξ τῆς κτίσεως, καὶ φιλάνθρωπος Κύριος, κατῴκησε Παρθένε, δι᾽ ἄκραν χρηστότητα, λυτρούμενος τὸν κόσμον, τῆς πάλαι κακώσεως· ὅθεν ὡς ἀρχήν σε, σωτηρίας καὶ πύλην, πρὸς θεῖα σκηνώματα, ἀνυμνοῦμεν Πανύμνητε, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναι Κόρη ἄφεσιν, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄφραστον τόκον σου.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται. (δίς)

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

*Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου*

*Ἦχος β΄.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

*Εὐαγγέλιον*

*Ἐκ τοῦ κατὰ*

Δόξα σοι, Κύριε, δόξα σοι.

*Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ...

*Ἦχος β΄*

Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Ἐλλαμφθεὶς μυστικῶς, τῇ τοῦ Πνεύματος χάριτι, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, βιοτεύων ἐν σώματι, Αὐγουστῖνε Πατὴρ ἡμῶν· καὶ τοῖς σοῖς προτερήμασι τὴν Ἐκκλησίαν φαιδρύνας, ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, κατὰ Παῦλον ὤφθης· διὸ τὴν σὴν ἑορτάζοντες μνήμην, δυσωποῦμέν σε πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ΄)

Ἐλέει καὶ οἰκτιρμοῖς...

ΚΑΝΟΝΕΣ

Ὠδὴ α΄. Κανὼν τῆς Θεοτόκου.

Ἦχος πλ. δ΄ Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Κανὼν τοῦ ἁγίου. Ὠδὴ α΄.

Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοῦ τὴν γλῶσσαν ἔδει τὴν σοφήν, ἔχειν με πρὸς ἔπαινον, τῶν εὐκλεῶν ἀρετῶν καὶ χαρίτων σου, ἀλλὰ Πάτερ σύγγνωθι, καὶ μετάδος μοι, ἐκ τῆς σῆς ἱλαρότητος, χάριν Αὐγουστῖνε ἄνωθεν, ὡς ἂν ἀξίως μέλψω σε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλικῶς φιλήσας ἐκ παιδός, διαθέσει κρείττονι, τὴν τῆς σοφίας παμμάκαρ ἀκρότητα, σεαυτὸν ἐκδέδωκας, πρὸς τὴν μύησιν, πάσης θύραθεν γνώσεως, ἀλλ’ ἡ τῶν

ἁπάντων πρόνοια, Κυρίῳ σε ἀφώρισε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φρονημάτων τῶν ἐπιρρεπῶν, πρὸς ζωὴν χαμαίζηλον, ἀναπλησθεὶς ὡς μὴ ὤφελεν Ὅσιε, ἀπεσφάλης τέλεον καὶ ἐξέκλινας, ἐξ ἠθῶν καθαρότητος, ἀλλ' ἀλλοιωθεὶς τῇ χάριτι, ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Δόξα... Ὡς ὀμφὴν τῆς ἄνωθεν βουλῆς, ἔνθους εἰσδεξάμενος, τὴν ἀοράτως φωνὴν ἐνεχθεῖσάν σοι, ὡς ἐξ ὕπνου τάχιστα, ἐκ φαυλότητος, διηγέρθης καὶ ὤρθρισας, διὰ πολιτείας κρείττονος, Πάτερ τῷ σὲ καλέσαντι.

Καὶ νῦν... Θεοτοκίον

Ἀπειράνδρως τέξασα Θεόν, μόνη Ἀειπάρθενε, ἐκ τῆς φθορᾶς τοὺς ἀνθρώπους ἐξήρπασας, τῇ κυοφορίᾳ σου, καὶ ἀκήρατος, ὡς πρὸ τόκου διέμεινας· ὅθεν δυσωπῶ σε, τῆς ἀπάτης ῥῦσαί με τοῦ ὄφεως.

Ὠδὴ γʹ.

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ γʹ. Ἦχος πλ. δʹ

Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου, σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν Ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶ σον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σύ μοι βοήθησον, τῶν Ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Κανὼν τοῦ ἁγίου.

Ὠδὴ αʹ. Ἦχος βʹ.,

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπέκλινας τῷ λόγῳ τὴν ἀλογίαν, ἠλλοίωσας τὴν ἔφεσιν τῆς καρδίας, καὶ ἔρωτι τῷ θείῳ ἀνεπτερώθης, οὐκ ἔστιν ἅγιος, ψάλλων μακάριε,καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γνωστὸς τῷ Ἀμβροσίῳ τῷ θεηγόρῳ καὶ φίλος ὡς ἐγένου καὶ ἀκροάμων, ἐπλήσθης τῆς ἐκείνου φωτοχυσίας, οὐκ ἔστιν ἅγιος, βοῶν τῷ Κτίστῃ σου, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐράνιον ἐβίωσας πολιτείαν, βαπτίσματι τῷ θείῳ τετελεσμένος, καὶ πάντα τὰ κινήματα τῆς ψυχῆς σου, Κυρίῳ ἴθυνας, ἀσχέτῳ πόθῳ σου, Αὐγουστῖνε ἔνδοξε, διὰ πίστεως.

Δόξα...

Ὑπέταξας τῇ γνώσει τῆς ἀληθείας, τὴν ἔξωθεν σοφίαν ὡς φθειρομένην, καὶ ἔγνως ὡς θεόληπτος ἐπιστήμων, δυνάμει πίστεως, τὸν Ὄντα Ὅσιε, ἐνεργείαις κρείττοσι, γινωσκόμενον.

Καὶ νῦν... Θεοτοκίον

Σαρκὸς ἐν ὁμοιώματι ἐκ γαστρός σου, τεχθεὶς ὁ τῶν ἁπάντων Θεὸς καὶ Κτίστης, τὸν πάλαι πεπτωκότο τῇ παραβάσει, ἄνθρωπον ἔσωσε, Κόρη Πανάμωμε· διὸ Θεοτόκον σε, πάντες σέβομεν.

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Κάθισμα. Τοῦ Ἁγίου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σοφίᾳ τῇ ἔξωθεν, ἐπιμελῶς ἀσκηθείς, πρὸς ἄσκησιν ἔνθεον, τῆς ἐναρέτου ζωῆς, σαυτὸν μετερρύθμισας· ὅθεν κατατρυφήσας, ἐπιπνοίας τῆς θείας, ὤφθης τῆς Ἐκκλησίας, εὐκλεὴς Ἱεράρχης· διό σε Αὐγουστῖνε, ὕμνοις γεραίρομεν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ταχεῖαν βοήθειαν, καὶ προστασίαν στερράν, πλουτοῦντες Πανάμωμε, τῆς σῆς θερμῆς ἀρωγῆς, τὴν χάριν τὴν ἄφθονον, πάσης τοῦ ἀλλοτρίου, ἐκλυτρούμεθα βλάβης, ἴασιν νοσημάτων, καὶ παθῶν ἀκαθάρτων, καρπούμενοι Θεοτόκε, πιστῶς ἀνυμνοῦντές σε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

Κοντάκιον

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ

Ὡς τῆς σοφίας κεκτημένος τὴν λαμπρότητα τῆς εὐσεβείας ἀνεδείχθης θεῖον ὄργανον Ἱεράρχα Αὐγουστῖνε Χριστοῦ θεράπον. Ἀλλ᾽ ὡς μύστης τῆς ἐνθέου ἀγαπήσεως Ἀναπτέρωσιν ἡμᾶς πρὸς θεῖον ἔρωτα Τοὺς βοῶντάς σοι· Χαίροις Πάτερ θεόληπτε.

Ὁ Οἶκος

Ἄνωθεν ἀοράτως, ἐνεχθείσης φωνῆς σοι, ἀκούσας ἠλλοιώθης αὐτίκα· καὶ υἱοθετηθεὶς τῷ Θεῷ, ὅ σοι δέδοται τάλαντον ἐπηύξησας, Αὐγουστῖνε μακάριε· διό σοι πάντες ἐκβοῶμεν·

Χαῖρε βλαστὲ εὐσεβῶν ὠδίνων
χαῖρε καρπὲ μητρικῶν δακρύων
χαῖρε τῆς παιδείας τῆς θύραθεν τρόφιμε

χαῖρε τῆς σοφίας τῆς ἄνωθεν ἔμπλεε

χαῖρε ὕψος βίου κρείττονος, ὡς Κυρίου μαθητὴς

χαῖρε βάθος θείας γνώσεως, ὡς τοῦ Παύλουμιμητὴς

χαῖρε ὅτι ἐκφαίνεις τὸ οὐράνιον φίλτρον

χαῖρε ὅτι πηγάζεις κατανύξεως ρεῖθρον

χαῖρε λαμπὰς Χριστοῦ ἀγαπήσεως

χαῖρε λουτὴρ τῆς ἔνδον καθάρσεως

χαῖρε σοφὲ ποιμενάρχα Ἱππῶνος

χαῖρε λαμπτὴρ νοητὲ τοῦ βοῶντος.

Χαίροις Πάτερ θεόληπτε.

Συναξάριον.

Τῇ ΙΕ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Αὐγουστίνου, ἐπισκόπου Ἱππῶνος.

Στίχοι

Ἔρωτι φλεχθεὶς τοῦ Θεοῦ Αὐγουστῖνε.

Φωστὴρ ἐδείχθης παμφαέστατος, μάκαρ.

Ἀμφὶ πέμπτῃ δέκατῃ θαν' Αὐγουστῖνος ὁ περίπτυστος.

Τῇ αὐτῇ ἡμέρᾳ, τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Προφήτου Ἀμώς.

Στίχοι

Ἀμώς, ὁ συκάμινα κνίζων αἰπόλος,

Ἐδὲμ τρυγᾷ τὰ δένδρα κνίζων οὐκέτι.

Πέμπτῃ ἐκ βιότοιο Ἀμὼς δεκάτῃ τε ἀπέπτη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱερωνύμου· ὅς ἐχρημάτισε μαθητῆς τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

Στίχοι:

Ἱερώνυμον τὸν μέγαν τεθνηκότα

Μέγας μένει στέφανος οὐκ ἀπεικότως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Δουλᾶ.

Στίχοι

Δουλᾶς, ξοάνοις δουλικὸν μὴ δοὺς σέβας,

Ἤνεγκε σαρκός, ὡς Θεοῦ δοῦλος, ξέσεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Νερσῆ· καὶ ἡ σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου πέραν ἐν τοῖς Μαρανακίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος δ'.

Ὠδὴ α'

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

Ὠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Ὠδὴ ϛ΄

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Ὠδὴ ζ΄

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...*

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς

Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

*Ἐξαποστειλάρια.*

*Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Φιλοσοφίας ἔρωτι, πᾶσαν θύραθεν γνῶσιν, ἐκπαιδευθεὶς μακάριε, ἀληθείας τὸν λόγον, ἐν τῇ Ψυχῇ σου ἐδέξω, καὶ σοφὸς Ἱεράρχης, τῆς Ἐκκλησίας πέφηνας, Εὐαγγέλιον Πάτερ τὸ τοῦ Χριστοῦ, πράξεσιν ἁγίαις καὶ ὑποθήκαις, ἱερουργῶν θερμότατα, Αὐγουστῖνε θεόφρον.

*Ἕτερον. Ἦχος γ'.*

*Ὁ οὐρανὸν τοῖς ἄστροις*

Ὁ τοῦ Χριστοῦ θεράπων, καὶ Ἱεράρχης θαυμαστός, καὶ τῆς ἐνθέου ἀγάπης, πανευκλεὴς μυσταγωγός, θεοπρεπῶς ἐπαινείσθω, ὁ ἱερὸς Αὐγουστῖνος.

*Θεοτοκίον*

Ὁ τῶν ἁπάντων Κτίστης, καὶ Ποιητὴς καὶ κηδεμών, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, σάρκα λαβὼν δίχα τροπῆς, Ἀγγέλων σε βασιλίδα, ἀνέδειξε Θεοτόκε.

ΑΙΝΟΙ. *Ἦχος πλ. δ'.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

*Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*

*Ἦχος πλ. δ'.*

*Ὢ τοῦ παραδόξου θαύματος.*

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Πάτερ Αὐγουστῖνε πάνσοφε, θείας ἀκούσας φωνῆς, παραυτίκα ἀφύπνωσας, ἐκ τῆς ματαιότητος, καὶ παθῶν ἀχλυώσεως, καὶ ἠλλοιώθης θείῳ βαπτίσματι, καὶ μετανοίας πράξεσιν ἔλαμψας· ὅθεν τοῦ Πνεύματος, ὄργανον εὐάρμοστον, ὤφθης σαφῶς, καὶ θεράπων γνήσιος, τοῦ Παντοκράτορος.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Πάτερ Αὐγουστῖνε Ὅσιε, τῇ εὐδοκίᾳ Θεοῦ, Ἱεράρχης θεόσοφος, καὶ ποιμὴν θεόληπτος, ἀληθῶς ἐχρημάτισας, ἱερατεύων καθάπερ ἄγγελος, καὶ κατευθύνων καλῶς τὴν ποίμνην σου, πρὸς τὴν ἀνώλεθρον, καὶ τερπνὴν κατάπαυσιν, ἔνθα πηγαί, τῆς ἀιδιότητος, ἀναβλυστάνουσι.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Πάτερ Αὐγουστῖνε ἔνδοξε, ἔρωτι θείῳ τρωθείς, ἔξω κόσμου γεγένησαι, θείαις ἀναβάσεσι, πρὸς Χριστὸν ἀνυψούμενος· Χριστὸν νοῶν γὰρ καὶ πνέων πάντοτε, ἐν τούτῳ ἔζης ζωὴν τὴν ἔνθεον· ὢ ἧς

ἠξίωσαι, χάριτος μακαριε! ὢ ἀγαθῶν, τῶν ὑπὲρ κατάληψιν! ὧν ὤφθης μέτοχος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πάτερ Αὐγουστῖνε ἔνδοξε, ἀρχιερέων φωστήρ, μετανοίας διδάσκαλος, Ἐκκλησίας πρόβολος, ἀρετῶν ἐνδιαίτημα, τῆς εὐσεβείας στόμα θεόφθογγον, αἱρετιζόντων ἐν πᾶσιν ἔλεγχος, ὤφθης μακάριε, Ἀποστόλων ἔλλαμψιν, πεπλουτηκώς, τῇ καθαρωτάτῃ σου, ψυχῇ ἐν χάριτι.

Δόξα Πατρὶ... Ἦχος πλ. δ´

Σοφίας τῷ ἄνθρακι, τῆς ἀγνωσίας τὴν ἄκανθαν, Αὐγουστῖνε ἠνάλωσας, ἐν τῇ δυνάμει τοῦ Παρακλήτου· τῷ φωτὶ γὰρ τῶν ἀρετῶν, ἰθύνας τὸν βίον, τὸν πλοῦτον τῆς χάριτος, ἄνωθεν ἐδέξω, πᾶν γεηρὸν ἐμφρόνως ἀπορρίψας· καὶ ἱεραρχικῶς Χριστὸν δοξάσας, τὸν λόγον τῆς πίστεως γεωργεῖς, ὡς Ἱεράρχης θεόσοφος, ἐν ταῖς καρδίαις τῶν πιστῶν. Καὶ νῦν Χριστῷ παρεστηκώς, πρέσβευε Πάτερ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Ἦχος πλ. δ´

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη.
Ἦχος πλ. δ´

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον.*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ ( *τῆς ἑορτῆς*)

*Ἀντίφωνον Α΄*

*Ἦχος β΄.*

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

*Ἀντίφωνον Β΄.*

*Ἦχος β΄.*

*Στίχ.* Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

*Στίχ.* Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Στίχ. α΄. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν. Καὶ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως

Δόξα Πατρὶ...

Θείου Πνεύματος, λαμπρὸν δοχεῖον, καὶ τῆς πόλεως, Θεοῦ ἐκφάντωρ, ἀνεδείχθης Αὐγουστῖνε μακάριε· καὶ τῷ Σωτῆρι ὁσίως ἱερεύσας, ὡς Ἱεράρχης σοφὸς καὶ θεόληπτος. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος β´

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ´

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ Προκείμενον. Ἦχος α´

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 7:26-28, 8:1-2

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ’ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.Ἀλληλούϊα.

Ἀλληλούϊα. (γ´). Ἦχος β´.

Στόμα δικαίου μελετήσει σοφίαν

Στίχ. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β’

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμήν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.